12 [12]Εἰσακήκοα τὸν γογγυσμὸν τῶν υἱῶν Ισραηλ· λάλησον πρὸς
αὐτοὺς λέγων Τὸ πρὸς ἑσπέραν ἔδεσθε κρέα καὶ τὸ πρωὶ πλη-
σθήσεσθε ἄρτων· καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.
13 [13]ἐγένετο δὲ ἑσπέρα, καὶ ἀνέβη ὀρτυγομήτρα καὶ ἐκάλυψεν τὴν
παρεμβολήν· τὸ πρωὶ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ
14 τῆς παρεμβολῆς [14]καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν
15 ὡσεὶ κόριον λευκὸν ὡσεὶ πάγος ἐπὶ τῆς γῆς. [15]ἰδόντες δὲ αὐτὸ
οἱ υἱοὶ Ισραηλ εἶπαν ἕτερος τῷ ἑτέρῳ Τί ἐστιν τοῦτο; οὐ γὰρ
ᾔδεισαν, τί ἦν. εἶπεν δὲ Μωυσῆς πρὸς αὐτούς Οὗτος ὁ ἄρτος,
16 ὃν ἔδωκεν κύριος ὑμῖν φαγεῖν· [16]τοῦτο τὸ ῥῆμα, ὃ συνέταξεν κύ-
ριος Συναγάγετε ἀπ᾽ αὐτοῦ ἕκαστος εἰς τοὺς καθήκοντας, γομορ
κατὰ κεφαλὴν κατὰ ἀριθμὸν ψυχῶν ὑμῶν ἕκαστος σὺν τοῖς συ-
17 σκηνίοις ὑμῶν συλλέξατε. [17]ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ισραηλ
18 καὶ συνέλεξαν, ὁ τὸ πολὺ καὶ ὁ τὸ ἔλαττον. [18]καὶ μετρήσαντες
τῷ γομορ οὐκ ἐπλεόνασεν ὁ τὸ πολύ, καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλατ-
τόνησεν· ἕκαστος εἰς τοὺς καθήκοντας παρ᾽ ἑαυτῷ συνέλεξαν.
19 [19]εἶπεν δὲ Μωυσῆς πρὸς αὐτούς Μηδεὶς καταλιπέτω ἀπ᾽ αὐτοῦ
20 εἰς τὸ πρωί. [20]καὶ οὐκ εἰσήκουσαν Μωυσῆ, ἀλλὰ κατέλιπόν τινες
ἀπ᾽ αὐτοῦ εἰς τὸ πρωί· καὶ ἐξέζεσεν σκώληκας καὶ ἐπώζεσεν· καὶ
21 ἐπικράνθη ἐπ᾽ αὐτοῖς Μωυσῆς. [21]καὶ συνέλεξαν αὐτὸ πρωὶ πρωί,
ἕκαστος τὸ καθῆκον αὐτῷ· ἡνίκα δὲ διεθέρμαινεν ὁ ἥλιος, ἐτήκετο.
22 [22]ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ ἕκτῃ συνέλεξαν τὰ δέοντα διπλᾶ, δύο γο-
μορ τῷ ἑνί· εἰσήλθοσαν δὲ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς
23 καὶ ἀνήγγειλαν Μωυσεῖ. [23]εἶπεν δὲ Μωυσῆς πρὸς αὐτούς Τοῦτο
τὸ ῥῆμά ἐστιν, ὃ ἐλάλησεν κύριος· σάββατα ἀνάπαυσις ἁγία τῷ
κυρίῳ αὔριον· ὅσα ἐὰν πέσσητε, πέσσετε, καὶ ὅσα ἐὰν ἕψητε,
ἕψετε· καὶ πᾶν τὸ πλεονάζον καταλίπετε αὐτὸ εἰς ἀποθήκην εἰς
24 τὸ πρωί. [24]καὶ κατελίποσαν ἀπ᾽ αὐτοῦ εἰς τὸ πρωί, καθάπερ συνέ-
ταξεν αὐτοῖς Μωυσῆς· καὶ οὐκ ἐπώζεσεν, οὐδὲ σκώληξ ἐγένετο
25 ἐν αὐτῷ. [25]εἶπεν δὲ Μωυσῆς Φάγετε σήμερον· ἔστιν γὰρ σάββατα
26 σήμερον τῷ κυρίῳ· οὐχ εὑρεθήσεται ἐν τῷ πεδίῳ. [26]ἓξ ἡμέρας
συλλέξετε· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ὅτι οὐκ ἔσται ἐν
27 αὐτῇ. [27]ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξήλθοσάν τινες ἐκ
28 τοῦ λαοῦ συλλέξαι καὶ οὐχ εὗρον. [28]εἶπεν δὲ κύριος πρὸς Μωυ-
σῆν Ἕως τίνος οὐ βούλεσθε εἰσακούειν τὰς ἐντολάς μου καὶ τὸν

**13** εγεν. δε] και εγ. A | πρωι] + δε A || **15** αυτο > A | προς αυτους] αυτοις B† || **16** συν] εν A | συσκηνοις A || **17** εποι. δε] και επ. A | fin.] + ουκ ηλαττονησεν A†: ex 18 || **18** παρ αυτω συνελεξεν A$^{r}$ || **19** απ αυτου / εις το πρωι] tr. A$^{r}$ || **20** επ αυτοις / μωυσης] tr. A$^{r}$ || **21** πρωι 2$^{0}$ — αυτω > B† || **23** μωυσης] κυριος B† | το ρημα / εστιν] tr. B† | εις το] εως A: item in 24 || **24** καθαπερ] καθως B† | αυτω] -τοις B || **25** σημερον / τω κυριω] tr. A | ευρησετε A || **26** οτι > A